ὅλως δὲ ὧν ἡ νόησις ἀδιαίρετος, ἡ νοοῦσα τὸ τί ἦν εἶναι, καὶ μὴ δύναται χωρίσαι, μήτε χρόνῳ μήτε τόπῳ, μήτε λόγῳ, μάλιστα ταῦτα ἕν, καὶ τούτων ὅσα οὐσίαι. καθόλου γὰρ ὅσα μὴ ἔχει διαίρεσιν, ᾗ μὴ ἔχει, ταύτῃ ἓν λέγεται, οἷον, εἰ ᾗ ἄνθρωπος μὴ ἔχει διαίρεσιν, εἷς ἄνθρωπος· εἰ δὲ ᾗ ζῷον, ἓν ζῷον· εἰ δὲ ᾗ μέγεθος, ἓν μέγεθος. τὰ μὲν οὖν πλεῖστα ἓν λέγεται, τῷ ἕτερόν τι ἢ ποιεῖν, ἢ πάσχειν, ἢ πρός τι ἓν εἶναι. τὰ δὲ πρώτως λεγόμενα ἕν, ὧν ἡ οὐσία μία, μία δὲ ἢ συνεχείᾳ, ἢ εἴδει, ἢ λόγῳ. καὶ γὰρ ἀριθμοῦμεν ὡς πλείω, ἢ τὰ μὴ συνεχῆ, ἢ ὧν μὴ ἓν τὸ εἶδος, ἢ ὧν ὁ λόγος μὴ εἷς. ἔτι ἐπεὶ ἔστι μὲν ὡς ὁτιοῦν ἕν, συνεχείᾳ φαμὲν εἶναι, ἂν ᾖ ποσὸν καὶ συνεχές· ἔστι δ' ὡς οὔ, ἂν μή τι ὅλον ᾖ. τοῦτο δὲ ἂν μὴ τὸ εἶδος ἔχῃ ἕν, οὐκ ἂν φαῖμεν ἕν, ἰδόντες ὁμοίως ὁπωσοῦν τὰ μέρη συγκείμενα τοῦ ὑποδήματος, ἐὰν μὴ διὰ τὴν συνέχειαν, ἀλλ' ἐὰν οὕτως, ὥστε ὑπόδημα εἶναι καὶ εἶδός τι ἔχειν, ἤδη ἕν. διὸ καὶ ἡ τοῦ κύκλου μάλιστα μία τῶν γραμμῶν, ὅτι ὅλη τέλειός ἐστι. τὸ δὲ ἑνὶ εἶναι, ἀρχῇ τινὶ ἐστὶν ἀριθμοῦ εἶναι. τὸ γὰρ πρῶτον μέτρον ἑκάστου γένους ἀρχή. ᾧ γὰρ πρώτῳ γνωρίζομεν, τοῦτο πρῶτον μέτρον ἑκάστου γένους. ἀρχὴ οὖν τοῦ γνωστοῦ περὶ ἕκαστον γένος τὸ ἕν. οὐ ταὐτὸ δὲ ἐν πᾶσι τοῖς γένεσι τὸ ἕν. ἔνθα μὲν γὰρ δίεσις, ἔνθα δὲ τὸ φωνῆεν ἢ ἄφωνον. βάρους δὲ ἕτερον. καὶ κινήσεως ἄλλο. πανταχοῦ δὲ τὸ ἕν, ἢ τῷ εἴδει, ἢ τῷ ποσῷ ἀδιαίρετον. τὸ μὲν οὖν κατὰ τὸ ποσὸν καὶ ᾗ ποσόν, ἀδιαίρετον, τὸ μὲν πάντῃ καὶ ἄθετον, λέγεται μονάς· τὸ δὲ πάντῃ καὶ θέσιν ἔχον, στιγμή· τὸ δὲ μοναχῇ, γραμμή· τὸ δὲ διχῇ, ἐπίπεδον· τὸ δὲ πάντῃ καὶ τριχῇ διαιρετὸν κατὰ τὸ ποσόν, σῶμα. καὶ ἀντιστρέψαντι δὲ τὸ μὲν διχῇ διαιρετόν, ἐπίπεδον· τὸ δὲ μοναχῇ, γραμμή. [ τὸ δὲ πάντῃ τριχῇ διαιρετόν, σῶμα. ] τὸ δὲ μηδαμῇ διαιρετὸν κατὰ τὸ ποσόν, στιγμὴ καὶ μονάς· ἡ μὲν ἄθετος, μονάς· ἡ δὲ θετός, στιγμή. ἔτι δὲ τὰ μὲν κατ' ἀριθμόν ἐστιν ἕν, τὰ δὲ κατ' εἶδος, τὰ δὲ κατὰ γένος, τὰ δὲ κατ' ἀναλογίαν. ἀριθμῷ μέν, ὧν ἡ ὕλη μία. εἴδει δ', ὧν ὁ λόγος εἷς· γένει δ', ὧν τὸ αὐτὸ σχῆμα τῆς κατηγορίας. κατ' ἀναλογίαν δέ,

A Et omnino quorumcunque intellectio, quæ quod quid erat esse intelligit, indiuisibilis est, neque separare potest nec tempore, nec loco, nec ratione, hæc maximè vnum sunt, & horum quæcunque substantiæ sunt. Vniuersaliter nanque quotcunque non habent diuisionem, quatenus non habent, eatenus vnum dicuntur: vtputa, si prout homo non habet diuisionem, vnus est homo: quod si prout animal, vnum animal: quod si prout magnitudo, vna magnitudo. Plurima itaque vnum dicuntur, eo quòd aliquid vnum aut agunt, aut patiuntur, aut habent, aut ad aliquid vnum sunt. B Quæ verò primo vnum dicuntur, illa sunt, quorum substantia vna: vna verò, aut continuatione, aut specie, aut ratione. Numeramus etenim tanquam plura, aut quæ non continua sunt, aut quorum species non est vna, aut quorum ratio non est vna. Item est quidem, C vt quodcunque dicamus continuitate vnum esse, modò quantum, & continuum sit. Est autem vt non, si non ad aliquid totum sit: hoc autem, si non habeant speciem vnam. Non enim dicemus similiter vnum (cùm viderimus partes calceamenti quomodocunque compositas) propter continuitatem, sed si ita, vt calceamentum sit, ac quandam speciem habeat, tunc vnum. Quare maximè linearum, circuli D linea vna est, quoniam tota, & perfecta est: vni autem esse, principium est alicui numero esse. Prima enim mensura principium est. Quo nanque primò cognoscimus, hæc prima cuiusque generis mensura. Principium itaque scibilis circa vnumquodque, ipsum vnum. Non est autem idem in cunctis generibus vnum, sed hic quidem diesis, hic verò vocalis, aut muta. Grauitatis autem, aliud, & motus, aliud. E Vbique autem, ipsum vnum aut quantitate, aut specie indiuisibile. Illud igitur, quòd secundum quantum, & prout quantum indiuisibile est, quod quidem omnino, & sine positione est, dicitur vnitas: quod verò omnino, & positionem habẽs, punctum: quod autem secundum vnum, linea: quod verò secundum duo, superficies: quod autem omnino, & in tria secundum quantum diuisibile, corpus. Et econuerso, in duo quidẽ diuisibile, superficies F est: quod verò in vnum, linea: quod autem nequaquam secundum quantitatem diuisibile est, punctum, & vnitas est: quæ quidem sine positione, vnitas: quod vero habet positionem, punctum. Item alia numero, alia genere, alia specie, alia analogicè vnum sunt. Numero quidem, quorum materia vna: specie verò, quorum ratio vna: genere autem, quorum eadem prædicationis figura: secundum analogiam verò,